1.

# *ΠΕΡΙ ΠΑΙΔΩΝ ΑΓΩΓΗΣ

(Plan. 2)

**1.** *Τί τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς τῶν ἐλευθέρων παίδων* (Gr.-Lat. 1599) *ἀγωγῆς καὶ τίνι χρώμενοι σπουδαῖοι τοῖς τρόποις ἂν ἀποβαῖεν, φέρε σκεψώμεθα.*

**2.** *Βέλτιον δ' ἴσως ἀπὸ τῆς γενέσεως ἄρξασθαι πρῶτον. τοῖς τοίνυν ἐπιθυμοῦσιν ἐνδόξων τέκνων γενέσθαι πατράσιν ὑποθείμην ἂν ἔγωγε μὴ ταῖς τυχούσαις γυναιξὶ συνοικεῖν, λέγω δ' οἷον ἑταίραις ἢ παλλακαῖς· τοῖς γὰρ [μητρόθεν ἢ πατρόθεν] γεγονόσιν ἀνεξάλειπτα παρακολουθεῖ τὰ τῆς δυσγενείας ὀνείδη παρὰ πάντα τὸν βίον καὶ πρόχειρα τοῖς ἐλέγχειν* B *καὶ λοιδορεῖσθαι βουλομένοις. καὶ σοφὸς ἦν ἄρ' ὁ ποιητὴς* (Eur. Herc. 1261) *ὅς φησιν*

*'ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους*
*ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.'*

*καλὸς οὖν παρρησίας θησαυρὸς εὐγένεια, ἧς δὴ πλεῖστον λόγον ποιητέον τοῖς νομίμου παιδοποιίας γλιχομένοις. καὶ μὲν δὴ τὰ φρονήματα τῶν ὑπόχαλκον καὶ κίβδηλον ἐχόντων τὸ γένος σφάλλεσθαι καὶ ταπεινοῦσθαι πέφυκε, καὶ μάλ' ὀρθῶς ὁ λέγων* C *ποιητής φησι* (Eur. Hipp. 424)

*'δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,*
*ὅταν συνειδῇ μητρὸς ἢ πατρὸς κακά.'*